[28]Καὶ ὠργίσθη ὁ βασιλεύς, ὅτε ἤκουσεν, καὶ συνήγαγεν πάντας 28
τοὺς φίλους αὐτοῦ ἄρχοντας δυνάμεως αὐτοῦ καὶ τοὺς ἐπὶ τῶν
ἡνιῶν· [29]καὶ ἀπὸ βασιλειῶν ἑτέρων καὶ ἀπὸ νήσων θαλασσῶν 29
ἦλθον πρὸς αὐτὸν δυνάμεις μισθωταί· [30]καὶ ἦν ὁ ἀριθμὸς τῶν 30
δυνάμεων αὐτοῦ ἑκατὸν χιλιάδες πεζῶν καὶ εἴκοσι χιλιάδες ἱππέων
καὶ ἐλέφαντες δύο καὶ τριάκοντα εἰδότες πόλεμον. [31]καὶ ἦλθον διὰ 31
τῆς Ιδουμαίας καὶ παρενέβαλον ἐπὶ Βαιθσουραν καὶ ἐπολέμησαν
ἡμέρας πολλὰς καὶ ἐποίησαν μηχανάς· καὶ ἐξῆλθον καὶ ἐνεπύρισαν
αὐτὰς πυρὶ καὶ ἐπολέμησαν ἀνδρωδῶς. [32]καὶ ἀπῆρεν Ιουδας ἀπὸ 32
τῆς ἄκρας καὶ παρενέβαλεν εἰς Βαιθζαχαρια ἀπέναντι τῆς παρεμ-
βολῆς τοῦ βασιλέως. [33]καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωὶ καὶ ἀπ- 33
ῆρεν τὴν παρεμβολὴν ἐν ὁρμήματι αὐτῆς κατὰ τὴν ὁδὸν Βαιθζαχα-
ρια, καὶ διεσκευάσθησαν αἱ δυνάμεις εἰς τὸν πόλεμον καὶ ἐσάλπι-
σαν ταῖς σάλπιγξιν. [34]καὶ τοῖς ἐλέφασιν ἔδειξαν αἷμα σταφυλῆς 34
καὶ μόρων τοῦ παραστῆσαι αὐτοὺς εἰς τὸν πόλεμον. [35]καὶ διεῖλον 35
τὰ θηρία εἰς τὰς φάλαγγας καὶ παρέστησαν ἑκάστῳ ἐλέφαντι χι-
λίους ἄνδρας τεθωρακισμένους ἐν ἁλυσιδωτοῖς, καὶ περικεφαλαῖαι
χαλκαῖ ἐπὶ τῶν κεφαλῶν αὐτῶν, καὶ πεντακοσία ἵππος διατεταγ-
μένη ἑκάστῳ θηρίῳ ἐκλελεγμένη· [36]οὗτοι πρὸ καιροῦ οὗ ἂν ᾖ τὸ 36
θηρίον ἦσαν καὶ οὗ ἐὰν ἐπορεύετο ἐπορεύοντο ἅμα, οὐκ ἀφίσταντο
ἀπ᾽ αὐτοῦ. [37]καὶ πύργοι ξύλινοι ἐπ᾽ αὐτοὺς ὀχυροὶ σκεπαζόμενοι 37
ἐφ᾽ ἑκάστου θηρίου ἐζωσμένοι ἐπ᾽ αὐτοῦ μηχαναῖς, καὶ ἐφ᾽ ἑκάστου
ἄνδρες δυνάμεως τέσσαρες οἱ πολεμοῦντες ἐπ᾽ αὐτοῖς καὶ ὁ Ἰνδὸς
αὐτοῦ. [38]καὶ τὴν ἐπίλοιπον ἵππον ἔνθεν καὶ ἔνθεν ἔστησεν ἐπὶ τὰ 38
δύο μέρη τῆς παρεμβολῆς, κατασείοντες καὶ καταφρασσόμενοι ἐν
ταῖς φάλαγξιν. [39]ὡς δὲ ἔστιλβεν ὁ ἥλιος ἐπὶ τὰς χρυσᾶς καὶ χαλ- 39
κᾶς ἀσπίδας, ἔστιλβεν τὰ ὄρη ἀπ᾽ αὐτῶν καὶ κατηύγαζεν ὡς λαμ-
πάδες πυρός. [40]καὶ ἐξετάθη μέρος τι τῆς παρεμβολῆς τοῦ βασιλέως 40
ἐπὶ τὰ ὑψηλὰ ὄρη καί τινες ἐπὶ τὰ ταπεινά· καὶ ἤρχοντο ἀσφα-
λῶς καὶ τεταγμένως. [41]καὶ ἐσαλεύοντο πάντες οἱ ἀκούοντες φωνῆς 41

28 οτε] οτι S | αυτου ult.] -τους A*† | ηνιων] pr. μ A† || 29 βασιλειων] ι ult. > A || 30 ιππεων] των ιππων A || 31 ηλθοσαν et παρενεβαλοσαν A | βαιθσουραν] ν > SA: cf. 4 61 | επολεμησαν 1⁰ et εποιησαν] -σεν S Lap† | ημερας] pr. επι A | αυτας] -τους A | πυρι] pr. εν A | επολεμησαν ult.] -σεν S pau. Lap† || 33 οδον] + αυτης S† | εσαλπισαν] -σεν SV† || 34 ελεφανσιν A†: cf. 1 17 et Thack. § 10, 20 | εδειξαν] -ξεν S† || 35 φαλαγγας] ρ pro λ A: item VLap in 38, ALap in 45, S* in 10 82: cf. Thack. § 7, 20 | παρεστησαν] -σεν S†, + εφ A† || 36 απ] επ A† | απ αυτου (37) και πυργοι] αλγοι (sic) S*† || 37 επ αυτου pl.] υπ αυτου S†, επ αυτους A | δυναμεως S*L* La] δυο και A: ad 30 adapt. | τεσσαρες Ra. (Ztschr. f. d. alttest. Wissensch. 1934, S. 78/79)] τριακοντα mss. (etiam La): Λʹ pro Δʹ | αυτοις] -τους A || 38 εστησεν] pr. και S† || 39 και χαλκας] > A, tr. S*† | απ] υπ S*V† | πυρος — (40) της > S*† || 40 υψηλα > S*† || 41 φωνης πληθους] pr. της S†, της φ. του πλ. *L*